AB

52 14/9,35

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0001-9

1387

N

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0002-5

# ISOCRATIS EVAGORAS

ET

# PERICLIS ΕΠΙΤΑΦΙΟΣ

IN

VSVM PRAELECTIONVM.

EDITIO SECVNDA.

LIPSIAE

EX OFFICINA LANGENHEMIA.

1767.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0003-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0004-6

# ΙΣΟΚΡΑΤΟΥΣ
# ΕΥΑΓΟΡΑΣ

## ΥΠΟΘΕΣΙΣ.

Ἐπιτάφιος μὲν ὁ λόγος, εὐαγόραν δὲ τὸν τῆς ἐν κύπρῳ βασιλεύσαντα Σαλαμῖνος ἐγκωμιάζων, τὸν πατέρα Νικοκλέους. ἡ δὲ τοῦ λόγου τάξις τοιαύτη πώς ἐστι. πρῶτον μὲν οὐδὲν ἂν γενέσθαι φησὶν εὐαγόρᾳ μᾶλλον εἰς χάριν, τοῦ τὰς πράξεις αὐτοῦ λόγῳ κεκοσμημένας ἐπαινεθῆναι, καὶ τοῦθ᾽ ὡς χαλεπόν ἐστιν ἀποδείκνυσιν. εἶτα δ᾽ ἐκ τῶν προγόνων ἀρξάμενος, καὶ πάσης ἡλικίας τὰς κλίμακας διελθὼν, τὰς ἀρετὰς αὐτοῦ καὶ ἀριστείας πλουσίως τε καὶ λαμπρῶς διέξεισι μέχρι τῆς τελευτῆς, ἐπὶ δὲ τῷ τοῦ λόγου τέλει Νικοκλέα εἰς ζῆλον καὶ μίμησιν τοῦ πατρὸς παρορμᾷ. ἐζωγραφήθη γὰρ ἐνταῦθα καὶ ἐχαρακτηρίσθη, οἷον τῇ ἀπελλοῦ γραφίδι, ἀνδρὸς ἡρωϊκοῦ τὴν φύσιν ἐναργὴς εἰκὼν, τοῦ διὰ τῆς ἰδίας ἀρετῆς πάσας τὰς τῆς τύχης ἐναντιώσεις καὶ περιπετείας ὑποπιάσαντος καὶ ἐκνενικηκότος. ἄξιον δὲ κἀκεῖνο παρατηρεῖν, ὅν τινα τρόπον τὰ τῶν παραινέσεων ἐγκωμιαστικὴν ἐνταῦθα φύσιν μετείληφε.

Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε
τὸν τάφον τοῦ πατρὸς, οὐ μόνον
τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ
καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνι-
κοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις
ἵππων τε καὶ τριήρων ἁμίλλαις, καὶ λείποντα μη-
δεμίαν τῶν τοιούτων ὑπερβολήν· ἡγησάμην Εὐ-
αγόραν („εἴ τις ἐστὶν αἴσθησις τοῖς τετελευτη-
„κόσι, περὶ τῶν ἐνθάδε γιγνομένων, ) εὐμενῶς
μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν, ὁρῶν-
τα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν, καὶ τὴν σὴν
μεγαλοπρέπειαν· πολὺ δ' ἂν ἔτι πλείω χάριν
ἔχειν, ἢ τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη
περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων
„ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων. εὑρή-
„σομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους
„τῶν ἀνδρῶν, οὐ μόνου ἀντὶ τῶν τοιούτων ἐπαι-
„νεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνή-
„σκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ
„τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα
„ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν
„μνήμην καταλείψωσιν. αἱ μὲν οὖν δαπάναι
τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ
πλούτου σημεῖον εἰσίν. οἱ δὲ περὶ τὴν μουσικὴν
καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνά-
μεις αὐτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι,
σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν. ὁ δὲ λό-
γος, εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις,
ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν εὐαγόρου παρὰ πᾶ-
2. σιν ἀνθρώποις ποιήσειεν. Ἐχρῆν μὲν οὖν καὶ τοὺς
ἄλλους

ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵνα οἵ τε δυνάμενοι τὰ τῶν παλαιῶν ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν· „οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς „τὴν ἀρετὴν, εἰδότες, ὅτι τούτων εὐλογηθήσον„ται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς πα„ράσχωσι. Νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ τρωϊκὰ, τούς τ' ἐπέκεινα γενομένους, ὑμνουμένους, καὶ τραγῳδουμένους, ἑαυτὸν δὲ προειδῇ, μήδ' ἂν ὑπερβάληται τὰς ἐκείνων ἀρετὰς, μηδέ ποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον; „Τούτων δ' αἴτιος ὁ φθό„νος, ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι μέ„γιστον κακὸν τοῖς ἔχουσιν ἐστίν. Οὕτω γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ' ἥδιον εὐλογουμένων ἀκούειν οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, ἢ τὶ τούτων, ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχά„νουσιν, ἀποδέχεσθαι. οὐ μὴν δουλευτέον τούς „γε νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, „ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δ' „ἄλλους ἐθιστέον ἀκούειν, περὶ ὧν καὶ λέγειν δι„καιότερόν ἐστιν. ἄλλως τ' ἐπειδὴ καὶ τὰς ἐπιδόσεις ὁρῶμεν γινομένας, καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων, οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας, καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων. Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν ὃ μέλ- 3.
λω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγου ἐγκωμιάζειν. σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν, οἱ

περὶ τὴν φιλοσοφίαν ὄντες· περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτε αὐτῶν συγγράφειν ἐπεχείρησε. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην. τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοῖς ἀνθρώποις τοὺς θεοὺς οἷόν τ' αὐτοῖς ἐστὶ ποιῆσαι, καὶ διαλεγομένους, καὶ συναγωνιζομένους, οἷς ἂν βουληθῶσι καὶ περὶ τούτων δηλῶσαι, μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικίλαι τὴν ποίησιν. τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων. ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς, καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων „καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν. οἱ δ' οὐδενὸς τού- „των κοινωνοῦσιν, ἃ τοσαύτην ἔχει χάριν, ὥστ', „ἂν καὶ τῇ λέξει, καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ „κακῶς, ὅμως ταῖς γε εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. Καταμάθοι δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν. ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεεστέρα τῆς δόξης, ἧς νῦν ἔχομεν περὶ αὐτῶν. ὅμως δὲ, καὶ ὑπὸ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ' ἀποπειρατέον ἐστὶ τῶν λόγων: εἰ καὶ οὗτοι δυνήσονται τοὺς ἀγαθοὺς ἄνδρας εὖ λέγειν, μηδὲν χεῖρον τῶν ἐν ταῖς
4. ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων. Πρῶτον μὲν

μὲν οὖν περὶ τῆς φύσεως τῆς εὐαγόρου, καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίσανται, δοκεῖ μοι πρέπειν καὶ ἐμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν, ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων, οὐδὲν καταδεέστερον ἑαυτὸν ἐκείνων παρέσχεν. ὁμολογεῖται μὲν γὰρ, τοὺς ἀπὸ διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι. τούτων δ' αὐτῶν οὐκ ἔστιν, ὅς τις οὐκ ἂν αἰακίδας προκρίνειεν. ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας. οὗτοι δ' ἅπαντες ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασι. τοῦτο μὲν γὰρ αἰακὸς ὁ διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε, γενομένων αὐχμῶν ἐν τοῖς ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν, νομίζοντες διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. σωθέντες δὲ καὶ τυχόντες πάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν ἑλλήνων, οὗ περ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. καὶ κατ' ἐκεῖνόν μὲν τὸν χρόνον, ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν. ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ πλούτωνι καὶ κόρῃ τιμὰς μεγίστας ἔχων παρεδρεύειν ἐκείνοις. Τούτου δὲ παῖδες ἦσαν, τελαμὼν καὶ πηλεὺς, ὧν ὁ μὲν ἕτερος μεθ' ἡρακλέους ἐπὶ

λαομέδοντα ςρατευσάμενος, τῶν ἀρισείων ἔτυχε· πηλεὺς δ' ἐν τῇ μάχῃ τῇ πρὸς κενταύρȣς ἀρισεύσας, καὶ κατὰ πολλοὺς ἄλλȣς κινδύνȣς εὐδοκιμήσας, θέτιδι τῇ νηρέως, θνητὸς ὢν ἀθανάτῳ, συνῴκησε, καὶ μόνȣ τέτȣ φασὶ τῶν προγεγεννημένων, ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ἀσθῆναι. τέτοιν δ' ἑκατέροιν, τελαμῶνος μὲν αἴας καὶ τεῦκρος ἐγεννήθη, πηλέως δ' ἀχιλλεὺς, οἳ μέγισον καὶ σαφέςατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς. οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν ἐπρώτευσαν μόνον, ȣ̓δ' ἐν τοῖς τόποις, ἐν οἷς κατῴκȣν, ἀλλὰ ςρατείας τοῖς ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γενομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαςῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, αἴας δὲ μετ' ἐκεῖνον ἠρίσευσε· τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον, σαλαμῖνά τε κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε. Τὰ μὲν οὖν ἐξ ἀρχῆς εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα, τηλικαῦτα τὸ μέγεθός ἐςι. τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως οἰκισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον. χρόνῳ δ' ὕςερον ἀφικόμενος ἐκ φοινίκης ἀνὴρ φυγὰς, καὶ πισευθεὶς ὑπὸ τοῦ βασιλεύοντος τότε, καὶ δυνασείας μεγάλας λαβὼν, οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κακὸς μὲν γενόμενος

περὶ

περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεο-
νεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς
δὲ τὴν βασιλείαν κατέσχεν. ἀπιστῶν δὲ τοῖς
πεπραγμένοις, καὶ βουλόμενος ἀσφαλῶς κα-
ταθέσθαι τὰ περὶ αὐτὸν, τήν τε πόλιν ἐξε-
βαρβάρωσε, καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ
μεγάλῳ κατεδούλωσεν. οὕτω δὲ τῶν πραγμά- 5.
των καθεστώτων, Εὐαγόρας γίνεται, περὶ οὗ
τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς
ὄψεις, τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν
μείζων ἂν φανείη γεγονὼς ἢ κατὰ ἄνθρωπον,
αἱροῦμαι καταλιπεῖν· οὐκ ἀπιστῶν τοῖς λεγομέ-
νοις, ἀλλ᾽ ἵνα πᾶσι ποιήσω φανερὸν, ὅτι τοσού-
του δέω, πλασάμενος εἰπεῖν τὶ περὶ τῶν ἐκεί-
νῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων
ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς ἐπί-
στανται, καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν.
Ἄρξομαι δ᾽ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ
αὐτοῦ. παῖς μὲν γὰρ ὢν, ἔσχε κάλλος καὶ ῥώμην
καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπω-
δέστατα τοῖς τηλικούτοις ἐστί. καὶ τούτων ἄν τις
μάρτυρας ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς
συμπαιδευθέντας τῶν πολιτῶν, τοῦ δὲ κάλλους,
ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης τοὺς ἀγῶ-
νας, ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν.
ἀνδρὶ δὲ γενομένῳ, ταῦτά τε πάντα συνηυξή-
θη, καὶ πρὸς τούτοις ἀνδρεία προσεγένετο, καὶ
σοφία, καὶ δικαιοσύνη· καὶ ταῦτα οὐ μέσως,
οὐδ᾽ ὥσπερ ἐν ἑτέροις τισὶν, ἀλλ᾽ ἕκαστον αὐ-
τῶν πρὸς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς
τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς δι-

ἤνεγκεν, ὥς' ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βα-
σιλεύοντες ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ
τῆς ἀρχῆς, ἡγουμένους, οὐχ οἷόντ' εἶναι τὸν
τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν.
ὁπότε δ' εἰς τοὺς τρόπους ἀποβλέψαιεν οὕτω
σφόδρα πιςεύειν, ὥςε, καὶ εἴ τις ἄλλος τολμῴη
περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν εὐαγόραν
6. αὐτοῖς ἔσεσθαι βοηθόν. καὶ τοσοῦτον τῆς δό-
ξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθη-
σαν. οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν, οὔτε περὶ
ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων
ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται
τὴν βασιλείαν, ὥσθ' ὅσα μὲν ἀναγκαῖον ἦν
παρασκευασθῆναι δι' ἀσεβείας, ταῦτα μὲν
ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόντ' ἦν ὁσίως καὶ
δικαίως λαβεῖν τὴν ἀρχὴν, εὐαγόραν διεφύλα-
ξεν. εἷς γὰρ τῶν δυναςευόντων ἐπιβουλεύσας,
τόν τε τύραννον ἀπέκτεινε, καὶ συλλαβεῖν εὐα-
γόραν ἐπεχείρησεν, ἡγούμενος, οὐ δυνήσεσθαι
κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκ ποδῶν
ποιήσειε. διαφυγὼν δὲ τὸν κίνδυνον, καὶ σω-
θεὶς εἰς σόλους τῆς κιλικίας, οὐ τὴν αὐτὴν γνώ-
μην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περι-
πίπτουσιν. „οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννί-
„δος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας τα-
„πεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς
„τοσοῦτο μεγαλοφροσύνης ἦλθεν, ὥςε τὸν ἄλ-
λον χρόνον ἰδιώτης ὢν, ἐπειδὴ φυγεῖν ἠναγκάσθη,
τυραννεῖν ᾠήθη δεῖν. καὶ τοὺς μὲν πλάνους τοὺς
φυγαδικοὺς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κά-
θοδον, καὶ θεραπεύειν τοὺς αὐτοῦ χείρους,

ὑπερεῖδε.

ὑπερεῖδε. „Λαβὼν δὲ ταύτην τὴν ἀφορ-„μὴν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύνεσθαι, καὶ μὴ προτέρους ὑπάρχειν· καὶ προελόμενος, ἢ κατορθώσας τυραννεῖν, ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους; ὥς οἱ πλεῖστοι λέγουσι, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο, ποιεῖσθαι τὴν κάθοδον. ὅθεν καὶ μάλιστ᾽ ἄν τις τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν δόξαν, ἣν εἶχε παρὰ τοῖς ἄλλοις, θεωρήσειε. μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ᾽ ἐκεῖνος ἠθύμησεν, οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν: ἀλλ᾽ οἱ μὲν, ὥσπερ θεῷ συνακολουθήσαντες, ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις· ὁ δὲ, ὡσπερεὶ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω διέκειτο τὴν γνώμην. δῆλον δ᾽ ἐκ τῶν ἔργων. ἀποβὰς γὰρ εἰς τὴν νῆσον, οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν καταλαβὼν, καὶ τὸ σῶμα ἐπ᾽ ἀσφαλείᾳ καταστήσας περιϊδεῖν, εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ᾽ εὐθὺς, ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς, διελὼν τοῦ τείχους πυλίδα, καὶ ταύτῃ τοὺς μεθ᾽ ἑαυτοῦ διαγαγὼν, προσέβαλε πρὸς τὸ βασίλειον. καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς συμβαίνοντας, καὶ τοὺς φόβους τῶν ἄλλων, καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου, τί δεῖ λέγοντα διατρίβειν; γενομένων δ᾽ αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ᾽ ἄλλων πο-

„λιτῶν

„λιτῶν θεατῶν (δεδιότες γὰρ τȣ͂ μὲν τὴν ἀρ-
„χὴν, τȣ͂ δὲ τὴν ἀρετὴν, ἡσυχίαν ἦγον) ȣ̓ πρότερον ἐπαύσατο μαχόμενος ~~καὶ~~ μόνος πρὸς πολλȣ̀ς, καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθρȣ̀ς, πρὶν ἑλὼν τὸ βασίλειον, καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο, καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίȣς ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως
7. κατέστησεν. ἡγȣ͂μαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλȣ μνησθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τȣ́των εἶναι γνῶναι, τήν τε ἀρετὴν τὴν εὐαγόρȣ, καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων. οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν. τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων, οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην, κάλλιον ἐκείνȣ κτησάμενος. εἰ μὲν ȣ͂ν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρȣ παραβάλοιμεν, ȣ̓́τ' ἂν ὁ λόγος ἴσως τοῖς ἀκȣ́ȣσιν ἀρέσειεν, ȣ̓́τ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν. Εὰν δὲ προελόμενοι τȣ̀ς εὐδοκιμωτάτȣς, ἐπὶ τȣ́των σκοπῶμεν, ȣ̓δὲν μὲν χεῖρον ἕξομεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν. τῶν μὲν ȣ͂ν τὰς πατρικὰς βασιλείας παραλαβόντων, τίς ȣ̓κ ἂν τȣ̀ς εὐαγόρου κινδύνους προκρίνειεν; Οὐδεὶς γάρ ἐστιν ȣ̓́τω ῥάθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον, ἢ κτησάμενος ὁσίως, ὥσπερ ἐκεῖνος, τοῖς παισὶ τοῖς ἑαυτȣ͂ καταλιπεῖν. καὶ μὴν τῶν παλαιῶν καθόδων αὗ-

ται

ται μάλιστα εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκέομεν. ἔτοι γὰρ ἐ μόνον τῶν προγεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλεσιν, ἀλλὰ καὶ παρ' αὐτῶν καινὰς συντιθέασιν. ἀλλ' ὅμως ἐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅς τις οὕτω δεινὲς καὶ φοβεροὺς ποιησάμενος κινδύνες, εἰς τὴν ἑαυτῦ κατῆλθεν. ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλε καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. ἀλλὰ μὲν τῶν γε ἔπειτα γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχὴν, πέρσαις δὲ κτησάμενον, οἱ πλεῖστοι καὶ μάλιστα θαυμάζεσιν. ἀλλ' ὁ μὲν τῷ περσῶν στρατοπέδῳ, τὸ Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων ῥαδίως ἂν „ποιήσειαν. ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτῦ, καὶ „τῦ σώματος, τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. ἔπειτα ἐκ μὲν τῆς Κύρου στρατείας οὔπω δῆλον, ὅτι καὶ τοὺς εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν· ἐκ δὲ τῶν τέτῳ πεπραγμένων ἅπασι φανερὸν, ὅτι ῥαδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. πρὸς δὲ τέτοις, τῷ μὲν ὁσίως καὶ δικαίως πέπρακται ἅπαντα· τῷ δ' ἐκ εὐσεβῶς ἔνια συμβέβηκεν. ὁ μὲν γὰρ τὲς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινεν. ὥστ', εἴ τινες βέλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων, ἀλλὰ τὴν ἀρετὴν ἑκατέρου κρίνειν, δικαίως ἂν εὐαγόραν καὶ τέτε μᾶλλον ἐπαινέσειαν. εἰ δὲ δεῖ συντόμως, καὶ μηδὲν ὑποστειλάμενον,

μηδὲ

μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παῤῥησίᾳ
χρησάμενον εἰπεῖν· οὐδεὶς οὔτε θνητὸς, οὔθ' ἡ-
μίθεος, οὔτ' ἀθάνατος εὑρεθήσεται κάλλιον,
οὐδὲ λαμπρότερον, οὐδ' εὐσεβέστερον λαβὼν
ἐκείνου τὴν βασιλείαν, καὶ τούτοις ἐκείνως μά-
λ ψις' ἂν τις πιστεύσειεν, εἰ μὴ σφόδρα τοῖς νῦν
λεγομένοις ἀπιστήσας, ἐξετάζειν ἐπιχειρή-
„σειεν, ὅπως ἕκαστος ἐτυράννησε. φανήσομαι
„γὰρ, οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν
„προθυμούμενος, ἀλλὰ διὰ τὴν τοῦ πράγμα-
τος ἀλήθειαν, οὕτω περὶ αὐτοῦ θρασέως εἰρη-
κώς. εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων
ἂν καὶ τῶν λόγων αὐτὸν προσῆκον ἦν ἀξιοῦ-
„σθαι. νῦν δὲ πάντες ἂν ὁμολογήσαιεν, τυ-
„ραννίδα καὶ τῶν θείων ἀγαθῶν, καὶ τῶν ἀν-
„θρωπίνων, μέγιστον καὶ σεμνότατον καὶ πε-
ριμαχητότατον εἶναι. τὸν δὴ τὸ κάλλιστον
τῶν ὄντων κάλλιστα κτησάμενον, τίς ἂν ἢ ῥή-
τωρ, ἢ ποιητὴς, ἢ λόγων εὑρετὴς, ἀξίως τῶν
8. πεπραγμένων ἐπαινέσειεν; οὐ τοίνυν ἐν τούτοις
ὑπερβαλόμενος, ἐν τοῖς ἄλλοις εὑρεθήσεται
καταδεέστερος γεγονὼς, ἀλλὰ πρῶτον μὲν εὐ-
φυέστατος ὢν τὴν γνώμην, καὶ πλεῖστα κα-
τορθοῦν δυνάμενος ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγω-
ρεῖν, οὐδ' αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων,
ἀλλ' ἐν τῷ ζητεῖν καὶ φροντίζειν καὶ βουλεύε-
„σθαι, τὸν πλεῖστον χρόνον διέτριβεν, ἡγούμενος
„μὲν, εἰ καλῶς τὴν ἑαυτοῦ φρόνησιν παρα-
„σκευάσειε, καλῶς αὐτῷ καὶ τὴν βασιλείαν
„ἕξειν, θαυμάζων δ', ὅσοι τῆς μὲν ψυχῆς
ἕνεκα τῶν ἄλλων ποιοῦνται τὴν ἐπιμέλειαν,

αὐτῆς

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0016-3

αὐτῆς δὲ μηδὲν τυγχάνουσι φροντίζοντες· ἔπει-
„τα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοι-
„αν εἶχεν. ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπι-
„μελουμένους, ἐλάχιστα λυπουμένους, καὶ τὰς
„ἀληθινὰς τῶν ῥαθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις,
„ἀλλ᾽ ἐν ταῖς εὐπραγίαις καὶ ταῖς καρτερίαις
„ἐνούσας· οὐδὲν ἀνεξέταστον παρέλιπεν, ἀλλ᾽ οὕτως
„ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει, καὶ τῶν πο-
„λιτῶν ἕκαστον ἐγίνωσκεν, ὥστε μήτε τοὺς
„ἐπιβουλεύοντας αὐτῷ φθάνειν, μήτε τοὺς
„ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας
„τυγχάνειν τῶν προσηκόντων. οὐ γὰρ ἐξ ὧν
ἑτέρων ἤκουεν, οὔτ᾽ ἐκόλαζεν, οὔτ᾽ ἐπετίμα τοῖς
πολίταις, ἀλλ᾽ ἐξ ὧν αὐτὸς συνῄδει, τὰς κρί-
σεις ἐποιεῖτο περὶ αὐτῶν. ἐν ταῖς τοιαύταις δ᾽
ἐπιμελείαις ἑαυτὸν καταστήσας, οὐδὲ περὶ τῶν
κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων, οὐδὲ
περὶ ἓν πεπλανημένως εἶχεν, „ἀλλ᾽ οὕτω θεοφι-
„λῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε
„τοὺς ἀφικνουμένους μὴ μᾶλλον εὐαγόραν τῆς ἀρ-
χῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ᾽ ἐκείνου
βασιλείας. ἅπαντα γὰρ τὸν χρόνον διετέλε-
σεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν,
καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ
τοὺς ἐξαμαρτάνοντας κολάζων· οὐδὲν μὲν συμ-
βούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβου-
λευόμενος· πολλὰ μὲν τῶν ἑταίρων ἡττώμενος,
ἅπαντα δὲ τῶν ἐχθρῶν περιγενόμενος· σεμνὸς
ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς
τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως,
οὐδ᾽ ἀνωμάλως διακείμενος, ἀλλ᾽ ὁμοίως τὰς

ἐν

ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰς ἐν τοῖς ὅρκοις διαφυλάττων· „μέγα φρονῶν οὐκ ἐπὶ „τοῖς διὰ τύχην, ἀλλ᾽ ἐπὶ τοῖς δι᾽ αὑτῶν γιγνο-„μένοις ἀγαθοῖς, τοὺς μὲν φίλους ταῖς εὐεργε-„σίαις ὑφ᾽ αὑτῷ ποιούμενος, τοὺς δ᾽ ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος. φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν· ἡγούμενος τῶν ἡδονῶν, ἀλλ᾽ οὐκ ἀγόμενος ὑπ᾽ αὐτῶν· ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ᾽ οὐ διὰ μικρὰς ῥαθυμίας μεγάλους πόνους ὑπολειπόμενος· ὅλως δ᾽ οὐδὲν παραλιπὼν, ὧν προσεῖναι τοῖς „βασιλεῦσι πρέπει, ἀλλ᾽ ἐξ ἑκάστης πολιτείας „ἐκλεγόμενος τὸ βέλτιστον· καὶ δημοτικὸς μὲν „ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ „τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς „κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ πᾶσι τού-„τοις διαφέρειν. καὶ ταῦθ᾽ ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν. παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην, οὔτε τέχνας ἐπισταμένην, οὔτ᾽ ἐμπορίῳ χρωμένην, οὔτε λιμένας κεκτημένην, ταῦτά τε πάντα διώρθωσε, καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο, καὶ τείχη προσπεριεβάλετο, καὶ τριήρεις ἐναυπηγήσατο, καὶ ταῖς ἄλλαις παρασκευαῖς οὕτως ηὔξησε τὴν πόλιν, ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων πόλεων ἀπολελεῖφθαι· „καὶ δύναμιν τοσαύτην ἐνεποίησεν, ὥστε φοβεῖ-„σθαι πολλοὺς τῶν πρότερον καταφρονούντων „αὐτῆς.

„αὐτῆς. Καί τοι τηλικαύτας ἐπιδόσεις τὰς πό-
„λεις λαμβάνειν, οὐχ οἷόν τ᾽ ἐστιν, ἂν μή τις
„αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν, οἵοις εὐαγό-
„ρας μὲν εἶχεν, ἐγὼ δ᾽ ὀλίγῳ πρότερον ἐπειρά-
„θην διελθεῖν. ὥστ᾽ οὐ δέδοικα, μὴ φανῶ μείζω
„λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ
λίαν ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ. τίς
γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς οὐ μό-
νον τὴν αὐτοῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν,
ἀλλὰ καὶ τὸν περιέχοντα τόπον, τὴν νῆσον,
ἐπὶ πραότητα καὶ μετριότητα προήγαγε. πρὶν
μὲν γὰρ λαβεῖν εὐαγόραν τὴν ἀρχήν: οὕτως
ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν
ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵ
τινες ἂν ὠμότατα πρὸς τοὺς ἕλληνας διακείμε-
νοι τυγχάνοιεν. Νῦν δὲ τοσοῦτον μεταπεπτώ-
κασιν, ὥσθ᾽ ἁμιλλᾶσθαι μὲν, εἴ τινες αὐτῶν
δόξουσι φιλέλληνες μᾶλλον εἶναι, παιδοποιεῖ-
σθαι δὲ τοὺς πλείστους αὐτῶν, γυναῖκας λαμ-
βάνοντας παρ᾽ ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτή-
μασι καὶ τοῖς ἐπιτηδεύμασι τοῖς ἑλληνικοῖς
μᾶλλον, ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς, πλείους
δὲ καὶ τῶν περὶ τὴν μουσικὴν, καὶ τῶν περὶ τὴν
ἄλλην παίδευσιν ἐν τούτοις τοῖς τόποις διατρί-
βειν, ἢ παρ᾽ οἷς πρότερον εἰωθότες ἦσαν. καὶ
τούτων ἁπάντων οὐδεὶς, ὅς τις οὐκ ἂν εὐαγόραν
αἴτιον εἶναι ὁμολογήσειεν· μέγιστον δὲ τεκμήριον
καὶ τοῦ τρόπου, καὶ τῆς ὁσιότητος τῆς ἐκείνου·
τῶν γὰρ ἑλλήνων πολλοὶ καὶ καλοὶ καὶ ἀγα-
θοὶ τὰς ἑαυτῶν πατρίδας ἀπολιπόντες, ἦλθον
εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κοινοτέραν

εἶναι καὶ νομιμωτέραν τὴν εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν. ὧν τοὺς μὲν ἄλλους ὀνομαςὶ διελθεῖν, πολὺ ἂν ἔργον εἴη. Κόνωνα δὲ τὸν διὰ πλείςας ἀρετὰς πρωτεύσαντα τῶν ἑλλήνων τίς οὐκ οἶδεν, ὅτι δυςυχησάσης τῆς πόλεως, ἐξ ἁπάντων ἐκλεξάμενος, ὡς εὐαγόραν ἦλθε; νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ' ἐκείνῳ καταφυγὴν, καὶ τῇ πόλει τάχις' ἂν αὐτὸν γενέσθαι βοηθόν. πολλὰ δὲ πρότερον ἤδη κατωρθωκὼς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον ἢ περὶ τούτων βεβουλεῦσθαι· συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον, καὶ ποιῆσαι καὶ παθεῖν πλεῖςα ἀγαθά. πρῶτον μὲν γὰρ οὐκ ἔφθησαν ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς, ἢ τοὺς πρότερον οἰκείους ὄντας. ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες, ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην ἔσχον. ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν, καὶ μεγάλῃ μεταβολῇ κεχρημένην, λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες. τῷ μὲν γὰρ ἦν φύσει πατρὶς, τὸν δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. σκοπουμένοις δ' αὐτοῖς, ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξωσι ταχὺ τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν. ἄρχοντες γὰρ τῶν ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, εἰς τοῦτ' ἀπλησίας ἦλθον, ὥςε καὶ τὴν ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρὸν, καὶ τῶν ςρατηγῶν

τῶν βασιλέως ἀπορούντων, ὅ, τι χρήσονται τοῖς παροῦσιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν ἀλλὰ κατὰ θάλατταν τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους ποιεῖσθαι· νομίζοντες, εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο, καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνην καλῶς ἕξειν· εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, πᾶσαν τὴν ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. ὅπερ συνέβη. πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν, καὶ ναυτικοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν, καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' ἕλληνες ἠλευθερώθησαν, ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀπέλαβε, καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. καὶ ταῦτ' ἐπράχθη Κόνωνος μὲν στρατηγοῦντος, εὐαγόρου δ' αὐτόν τε παρασχόντος, καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος. ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, ἧ περ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σωτῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν, ἀμφοτέρων ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους. βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν· ἀλλ' ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος. ὅτι δὲ πρὸς εὐαγόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησε. φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν κύπρῳ πόλεμον, ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖ-

νον ἀνταγωνιστὴν νομίσας, ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. καὶ τούτου μέγιστον τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν, μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς. πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ, πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος. ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν ἑλλήνων, καὶ τῶν βαρβάρων, ἐκ ταπεινῶν καὶ φαύ„λων πραγμάτων, μεγάλας δυναστείας κατερ„γασαμένους. ᾐσθάνετο δὲ τὴν εὐαγόρου με„γαλοψυχίαν, καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τὰς „δόξας τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνο„μένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον „ἔχοντα, καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην, ὥστ' οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν· οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατιὰν ταύτην πλέον ἢ πεντάκις μύρια τάλαντα κατηνάλωσεν. ἀλλ' ὅμως εὐαγόρας, πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν ἑαυτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευὰς, ἐπέδειξεν αὐτὸν ἐν τούτοις πολὺ θαυμαστότερον, ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις· ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν ἑαυτοῦ μόνην πόλιν εἶχεν. Ἐπειδὴ δ' ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν, καὶ τοιοῦτον εἶχε Πρωταγόραν

ραν τὸν υἱὸν τὸν ἑαυτȣ͂ συναγωνιϛὴν, ὥϛε μικρȣ͂ μὲν ἐδέησε κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δ' ἐπόρθησε, τύρον δὲ κατὰ κράτος εἷλε, κιλικίαν δὲ βασιλέως ἀπέϛησε, τοσȣ́τȣς δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥϛε πολλȣ̀ς τῶν Περσῶν, πενθȣ͂ντας τὰς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνȣ. τελευτῶν δ' ȣ̓́τως ἐνέπλησεν αὐτȣ̀ς τȣ͂ πολεμεῖν, ὥϛ', εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων, μὴ διαλλάττεσθαι τοῖς ἀποϛᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον τȣ͂τον, ȣ̓δὲν δὲ κινήσαντες τῆς Εὐαγόρȣ τυραννίδος. καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν μεγίϛην ἐχόντων κατ' ἐκεῖνον τὸν καιρὸν, ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν· εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα, τῶν αὐτῶν κύριον κατέλιπεν, ὧν περ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. ὃ δὲ πάντων θαυμαϛότατον· τὴν γὰρ πόλιν, ἣν εὐαγόρας, ἑτέρȣ τυραννεύοντος, μετὰ πεντήκοντα ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας, τοσαύτην δύναμιν ἔχων, ȣ̓κ οἷός τ' ἐγένετο χειρώσασθαι. Καίτοι πῶς ἄν τις τὴν ἀνδρείαν ἢ τὴν φρόνησιν, ἢ σύμπασαν τὴν ἀρετὴν τὴν εὐαγόρȣ φανερώτερον ἐπιδείξειεν, ἢ διὰ τοιȣ́των ἔργων καὶ κινδύνων; οὐ γὰρ μόνον φανεῖται τȣ̀ς ἄλλȣς πολέμους, ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνȣ́μενον. οἱ μὲν γὰρ μετὰ πάσης ἑλλάδος, τροίαν μόνην εἷλον, ὁ δὲ μίαν πόλιν ἔχων, πρὸς ἅ-

πασαν τὴν ἀσίαν ἐπολέμησεν. ὥς' εἰ τοσȣ̃τοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἐβȣλήθησαν, ὅσοί παρ᾽ ἐκείνȣς, πολὺ μεῖζον ἂν καὶ τὴν δό-
„ξαν αὐτῶν ἔλαβε. τίνα γὰρ ἂν εὑρήσομεν
„τῶν τότε γενομένων, εἰ τȣ̀ς μύθȣς νῦν ἀφέν-
„τες, τὴν ἀλήθειαν σκοπῶμεν, τοιαῦτα δια-
„πεπραγμένον, ἢ τίνα τοσȣ́των μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον, ὃς ἑαυτὸν μὲν ἐξ ἰδιώτȣ τύραννον κατέστησε, τὸ δὲ γένος ἀπεληλαμένον ἅπαν τῆς πολιτείας, εἰς τὰς προσηκȣ́σας τιμὰς πάλιν ἐπανήγαγε, τȣ̀ς δὲ πολίτας ἐκ βαρβάρων μὲν ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ πολεμικȣ̀ς, ἐξ ἀδόξων δ᾽ ὀνομαστȣ̀ς, τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν, καὶ παντάπασιν ἐξηγριωμένον ἡμερώτερον καὶ πραότερον κατέστησεν, ἔτι δὲ πρὸς τȣ́τοις, εἰς ἔχθραν μὲν βασιλεῖ καταστὰς, ȣ̃τως αὐτὸν ἠμύνατο καλῶς, ὥς' ἀείμνηστον γενέσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον; ὅτε δ᾽ ἦν αὐτῷ σύμμαχος, τοσȣ́τῳ χρησιμώτερον ἑαυτὸν παρέσχε τῶν ἄλλων, ὥς' ὁμολογȣμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν, εἰς τὴν ναυμαχίαν τὴν περὶ κνίδον; ἧς γενομένης, βασιλεὺς μὲν ἁπάσης τῆς ἀσίας κύριος κατέστη, Λακεδαιμόνιοι δ᾽, ἀντὶ τȣ̃ τὴν ἤπειρον πορθεῖν, περὶ τῆς ἑαυτῶν κινδυνεύειν ἠναγκάσθηταν, οἱ δ᾽ ἕλληνες ἀντὶ δουλείας αὐτονομίαν ἔσχον, ἀθηναῖοι δὲ τοσȣ̃τον ἐπέδοσαν, ὥστε τοὺς πρότερον. αὐτῶν ἄρχοντας, ἐλθεῖν ὡς αὐτοὺς, τὴν ἀρχὴν παραδώσοντας. ὥς' εἴ τις ἔροιτό με, τί νομίζω μέγιστον εἶναι

τῶν

τῶν εὐαγόρᾳ πεπραγμένων; πότερον τὰς ἐπιμελείας καὶ τὰς παρασκευὰς τὰς πρὸς λακεδαιμονίους, δι' ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν; εἰς πολλὴν ἀπορίαν ἂν καταςαίην. τοῦτο γάρ μοι δοκεῖ μέγιςον εἶναι, καὶ θαυμαςότατον, καθ' ὅ, τι αὐτῶν ἐπιςήσω τὴν γνώμην· ὥς' εἴ τινες τῶν προγεγεννημένων δι' ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν ἐνθάδε βίον εὐτυχέςερον καὶ θεοφιλέςατον ἐκείνων διαβεβίωκε. τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείςους καὶ ὀνομαςοτάτους, εὑρήσομεν, ταῖς μεγίςαις συμφοραῖς περιπεσόντας· εὐαγόρας δ' οὐ μόνον θαυμαςότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν, ἀλλὰ καὶ μακαριςότατος. τί γὰρ ἀπέλιπεν εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, πλήν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονε; τοσοῦτον δὲ καὶ τῷ σώματι τῶν ἄλλων καὶ τῇ ῥώμῃ διήνεγκεν, ὥςε μὴ μόνον σαλαμῖνος, ἀλλὰ καὶ τῆς ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν. κάλλιςα δὲ κτησάμενος τὴν βασιλείαν, ἐν ταύτῃ τὸν βίον διετέλεσε, θνητὸς δὲ γενόμενος, ἀθάνατον τὴν περὶ αὐτοῦ μνήμην κατέλιπε. τοσοῦτον δ' ἐβίω χρόνον, ὥςε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι, μήτε τῶν νοσημάτων μετασχεῖν τῶν διὰ ταύτην τὴν ἡλικίαν γινομένων. πρὸς δὲ τούτοις, ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας τυχεῖν ἅμα καὶ

πολυπαιδίας, ȣδὲ τȣ́τȣ διήμαρτεν, ἀλλὰ καὶ τȣ̃τ᾽ αὐτῷ συνέπεσε. καὶ τὸ μέγιςον, ὅτι τῶν ἐξ αὐτȣ̃ γενομένων ȣδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν βασιλέα καλȣ́μενον, τȣ̀ς δ᾽ ἄνακτας, τὰς δὲ ἀνάσσας, ὥς᾽, εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγεννημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες, ὡς ἦν θεὸς ἐν ἀνθρώποις, ἢ δαίμων, ἀλλ᾽ ȣ̓ θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν „ἐκείνȣ ῥηθῆναι φύσιν μάλις᾽ ἂν ἁρμόσειε. „Τῶν μὲν ȣ̃ν εἰς εὐαγόραν πολλὰ μὲν οἴομαι παραλιπεῖν· ὑςερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτȣ̃, μεθ᾽ ἧς ἀκριβέςερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τȣ̃τον· ȣ̓ μὴν ἀλλὰ καὶ νῦν, ὅσον ἦν κατὰ τὴν ἐμὴν δύναμιν, ȣ̓κ ἀνεγκωμίαςός ἐςιν. ἐγὼ δ᾽, ὦ Νικόκλεις, ἡγȣ̃μαι καλὰ μὲν εἶναι μνημεῖα, καὶ τὰς τῶν σωμάτων εἰκόνας, πολὺ μέν τοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον, τοῖς τεχνικῶς ἔχȣσι θεωρήσειε. προκρίνω δὲ ταύτας, πρῶτον μὲν εἰδὼς, τȣ̀ς καλȣ̀ς καὶ ἀγαθȣ̀ς τῶν ἀνδρῶν, ȣ̓χ ȣ̃τως ἐπὶ τῷ κάλλει τȣ̃ σώματος σεμνυνομένȣς, ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ μνήμῃ φιλοτιμȣμένȣς· ἔπειθ᾽ ὅτι τȣ̀ς μὲν τύπȣς „ἀναγκαῖον παρὰ τȣ́τοις εἶναι μόνον, παρ᾽ οἷς „ἂν ςαθῶσι, τȣ̀ς δὲ λόγους ἐξενεχθῆναι οἷόντ᾽ „ἐςιν εἰς τὴν ἑλλάδα, καὶ διαδοθέντας, ἐν „ταῖς τῶν εὖ φρονȣ́ντων διατριβαῖς ἀγαπᾶ„σθαι, παρ᾽ οἷς κρεῖττόν ἐςιν, ἢ παρὰ τοῖς „ἄλλοις ἅπασιν εὐδοκιμεῖν· πρὸς δὲ τȣ́τοις,

„ὅτι

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0026-9

„ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις, ὀδεὶς ἂν τὴν τῦ σώματος φύσιν ὁμοιώσειε, τὸς δὲ τρόπος τὸς ἀλλήλων, καὶ τὰς διανοίας, τὰς ἐν τοῖς λεγομένοις ἐνόσας, ἐκ τότων ῥάδιόν ἐστι μιμεῖσθαι, τοῖς μὴ ῥαθυμεῖν αἱρυμένοις, ἀλλὰ χρηστοῖς εἶναι βυλομένοις. ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τῦτον τὸν λόγον, ἡγύμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἀπ' εὐαγόρυ γεγονόσι πολὺ καλλίστην ἂν γενέσθαι ταύτην τὴν παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνυ, καὶ τῷ λόγῳ κοσμήσας, παραδοίη θεωρεῖν ὑμῖν, καὶ συνδιατρίβειν αὐταῖς. τὸς μὲν γὰρ ἄλλυς προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν, ἑτέρυς ἐπαινῦντες, ἵνα ζηλῦντες ἐκ τύτων τὸς εὐλογυμένυς, τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δὲ σὲ καὶ τὸς σὸς, ὀκ ἀλλοτρίοις παραδείγμασι χρώμενος, ἀλλ' οἰκείοις, παρακαλῶ, καὶ συμβυλεύω προσέχειν τὸν νῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσῃ τῶν ἑλλήνων. Καὶ μὴ νόμιζέ με καταγινώσκειν, ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. ὀ γὰρ ὔτ' ἐμὲ λέληθεν, οὔτε τὸς ἄλλυς, ὅτι καὶ μόνος καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλύτῳ καὶ τρυφαῖς ὄντων, φιλοσοφεῖν καὶ φιλοπονεῖν ἐπεχείρησας, ὀδ' ὅτι πολλὸς τῶν βασιλέων ποιήσεις, ζηλώσαντας τὴν σὴν παίδευσιν, τύτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένυς ἐφ' οἷς νῦν λίαν χαίρυσιν. ἀλλ' ὅμως ἐγὼ ταῦτα εἰδὼς, ὀδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω ταυτὸν,

,,ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί. καὶ
,,γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ
,,τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκης
,,ἀγωνιζομένοις. ἐμὸν μὲν οὖν ἐστὶ καὶ τῶν ἄλ-
,,λων φίλων, τοιαῦτα καὶ λέγειν καὶ γράφειν,
ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τού-
των, ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ
δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ᾽ ὥσπερ ἐν τῷ
παρόντι καὶ τὸν ἄλλον χρόνον ἐπιμελεῖσθαι,
καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσῃ καὶ τοῦ
,,πατρὸς καὶ τῶν ἄλλων προγόνων. ὡς ἅπασι
,,μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρό-
,,νησιν, μάλιστα δ᾽ ὑμῖν, τοῖς πλείστων κυρίοις
,,οὖσι. χρὴ δ᾽ οὐκ ἀγαπᾷν, εἰ τῶν παρόντων τυγ-
χάνεις ὢν ἤδη κρείττων, ἀλλ᾽ ἀγανακτεῖν, εἰ
τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν, γεγονὼς δὲ τὸ
μὲν παλαιὸν ἀπὸ διός, τὸ δ᾽ ὑπογυιώτατον, ἐξ
ἀνδρὸς τοιούτου τὴν ἀρετὴν, εἰ μὴ πολὺ διοίσεις
καὶ τῶν ἄλλων, καὶ τῶν ἐν ταῖς αὐταῖς σοι
τιμαῖς ὄντων. ἔστι δ᾽ ἐπὶ σοί, μὴ διαμαρτεῖν
τούτων. ἐὰν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ. καὶ
τοσοῦτον ἐπιδιδῷς, ὅσονπερ νῦν, ταχέως γενήσῃ
τοιοῦτος, οἷόν σε προσήκει.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0028-0

# ΠΕΡΙΚΛΕΌΥΣ

# ΛΌΓΟΣ ἘΠΙΤΑΦΙΟΣ.

*Thucyd. II, 35–46.*

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ᾽ ἂν ἀρκοῦν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμὰς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε· καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. Χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται· ὅ, τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ᾽ ἄν τι ἐνδεεστέρως, πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται, νομίσειε δηλοῦσθαι· ὅ, τε ἄπειρος ἔστιν, ἃ καὶ πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε. Τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες, ἤδη καὶ ἀπιστοῦσιν· ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπό-

μενον τῷ νόμῳ, πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεως τε καὶ δόξης τυχεῖν ὡς ἐπιπλεῖστον.

Ἄρξομαι δ' ἀπὸ τῶν προγόνων πρῶτον. δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον. τὰ δὲ πλέω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴτι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων, ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι.

Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τισὶν, ἢ μιμούμενοι ἑτέρους. καὶ ὄνο-

μα

μα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ᾽ ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται μέτεσι δὲ, κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν ὡς ἕκαςος ἐν τῷ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπ᾽ ἀρετῆς προτιμᾶται. οὐδ᾽ αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανεία κεκώλυται ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ᾽ ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι᾽ ὀργῆς τῆς πέλας εἰ καθ᾽ ἡδονήν τι δρᾷ, ἔχοντες, οὐ δὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προσιθέμενοι. ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες τὰ δημόσια διὰ δέος μάλιςα οὐ παρανομοῦμεν, τῶν δὲ ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων. καὶ μάλιςα αὐτῶν ὅσοι τε ἐπ᾽ ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσι.

Καὶ μὲν καὶ τῶν πόνων πλείςας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ᾽ ὑμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. ἐπεισέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα· καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0031-6

Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τὴν δὲ γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ ἐκ ἔςιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη. πιςεύοντες ἐ ταῖς παρασκευαῖς τοπλέον καὶ ἀπάταις, ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν εἰς τὰ ἔργα εὐψύχῳ. καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν ἐπιπόνῳ ἀσκήσει, εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται· ἡμεῖς δὲ ἀνειμένως δέαιτώμεναι, ἐδὲν ἧσσον ἐπὶ τὲς ἰσοπαλεῖς κινδύνες χωρεμεν. τεκμήριον δέ ἔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάςες, μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν ςρατεύεσι· τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, ἐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τὲς περὶ τῶν οἰκείων ἀμυνομένες μαχόμενοι ταπλείω κρατεμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν ἐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τε ναυτικε τε ἅμα ἐπιμέλειαν, καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν. ἢν δέ πε μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν πάντας αὐχεσιν ἀπεῶσθαι, καὶ νικηθέντες, ὑφ' ἁπάντων ἡσσῆσθαι. καίτοι εἰ ῥαθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τοπλεῖον ἢ τρόπων ἀνδρείας ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλεσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθεσι, μὴ ἀτολμοτέρες τῶν ἀεὶ μοχθέντων φαίνεσθαι.

Καὶ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0032-2

Καὶ ἔν τε τέτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. Φιλοκαλῦμεν τε γὰρ μετ' ἐντελείας, καὶ φιλοσοφῦμεν ἄνευ μαλακίας· πλέτῳ τε ἔργε μᾶλλον ἐν καιρῷ ἢ λόγε κόμπῳ χρώμεθα καὶ τὸ πένεσθαι ἐχ' ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ, αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετραμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα, ἐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν· καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμέμεθα ὀρθῶς τὰ πράγματα, ἐ τὲς λόγες τοῖς ἔργοις βλάβην ἡγέμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥςε τολμᾶν τε οἱ αὐτοὶ μάλιςα, καὶ περὶ ὧν ἐπιχειρήσομεν, ἐκλογίζεσθαι· τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. κράτισοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα ( σαφέςατα ) γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρετὴν ἠναντιώμεθα τοῖς πολλοῖς. ἐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τὲς φίλες. βεβαιώτερος δὲ ὁ δράσας τὴν χάριν, ὥςε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δὲ ἀντοφείλων, ἀμβλύτερος, εἰδὼς ἐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι ἐ

τῦ ξυμφέροντος μᾶλλον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιςῷ ἀδεῶς τινὰ ὠφελῦμεν.

Ξυνελών τε λέγω, τήν τε πᾶσαν πόλιν τῆς Ἑλλᾶδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαςον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖς' εἴδη καὶ μετὰ χαρίτων μάλις' ἂν εὐτραπέλως τὸ σῶμα ἄυταρκες παρέχεσθαι. καὶ ὡς ὖ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐςὶν ἀλήθεια, αὕτη ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη ὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει, ὑφ' οἵων κακοπαθεῖ; ὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς ὐχ' ὑπ' ἀξίων ἄρχεται. μετὰ μεγάλων δὲ σημείων καὶ ὖ δήτοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι, τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα· καὶ ὐδὲν προςδεόμενοι ὔτε Ὁμήρυ ἐπαινέτυ ὔτε ὅςις ἔπεσι μὲν τοαυτίκα τέρψει, τῶν δὲ ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. περὶ τοιαύτης ὖν πόλεως οἵδε τε γενναίως δικαιῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.

Διὸ

Διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὸν σημείοις καθιστάς· καὶ εἴρηται αὐτῆς τὰ μέγιστα. ἃ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν· καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόῤῥοπος, ὥσπερ τῶνδε, ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα, καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστροφή. καὶ γὰρ τοῖς τ' ἄλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι. ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοινῶς μᾶλλον ὠφέλησαν, ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. τῶνδε οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἠβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι· ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργω δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι· καὶ ἐν αὐτῷ τῷ ἀμύνασθαι καὶ παθεῖν, μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ

τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν.

Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφέλειαν· ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι, ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς. καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένοις ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο· καὶ ὁπότε καὶ πείρᾳ του σφαλείησαν, οὔκουν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον, καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος. καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφὴ, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον τὸ εὔψυχον κρίναντες,



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0036-4

τες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος.

Διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες. τὸ δ' εὐτυχές, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν, τελευτῆς, ὑμεῖς δὲ λύπης· καὶ ἐν οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθείη. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι. ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται· καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ ξυνοίσιν. οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα κέρδος ὄν, εὐτυχεῖτε βίον, ἡγεῖσθε

καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κȣφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον· καὶ ȣ̓κ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινὲς φασὶ, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

Παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεςε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα τὸν γὰρ ȣ̓κ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν· καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς ȣ̓χ' ὅμοιοι ἀλλ' ὀλίγῳ χείρȣς κριθείητε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸν ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίςῳ εὐνοίᾳ τετίμηται. εἰ δὲ με δεῖ καὶ γυναικείας τὶ ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. τῆς τε γὰρ ὑπαρχȣ́σης φύσεως μὴ χείροσι γενέσθαι, ὑμῖν μεγάλη ἡ δόξα, καὶ οἷς ἂν ἐπ' ἐλάχισον ἀρετῆς πέρι ἢ ψόγȣ ἐν τοῖς ἄρσεσι κλέος ᾖ.

Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα· καὶ ἔργῳ, οἱ θαπτόμενοι, τὰ μὲν, ἤδη κεκόσμηνται· τὰ δὲ, αὐτῶν τȣ̀ς παῖδας τὸ ἀπὸ τȣ̃δε δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψει, ὠφέλιμον ςέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιςα, τοῖσδε καὶ ἄνδρες ἄριςοι πολιτεύȣσι. νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάςῳ, ἄπιτε.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0038-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0039-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0040-6

Gr. 4. p. 836 Ol. III. 554 a. de Aristocraten de Chersoneso
Olynth. III. 543. p. 429

Veterum oratorum graecorum orationes integrae selectae, una cum earundem versione latina. cura I. J. Schroederi. Marburgi 1734. 8.

[illegible]

366. 8. ... 1789. ...
... Olynth. ...
96, 2. S. 606
... 3 Red. ...
... Jacobs ...
... 1802 S. 1463

52 14
/
J 35

ULB Halle 3
007 104 960

VD18

[illegible]
... G. P. p. 124 ... Dem. or. 2. Olynth. ... c. 14 ...
... G. P. p. 130 ... p. 131. 135.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0042-7

# ISOCRATIS EVAGORAS ET PERICLIS ΕΠΙΤΑΦΙΟΣ IN VSVM PRAELECTIONVM.

EDITIO SECVNDA.

LIPSIAE
EX OFFICINA LANGENHEMIA.
1767.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-794761-p0043-3